ingeniosissimus enim erat usque ad extremum in malis excogitandis, atque adeo daemonis instar, ita ut vir quidam in rebus divinis sapiens eum appellaret his verbis, Thomas tyrannus amat regnum propter pecuniae aviditatem, ut pecuniae avidus iniuste agit, ut iniustus est insatiabilis, ut insatiabilis praedatur, ut praedo calumniatur; ut calumniator maledicit, ut maledicus accusat, ut accusator timet, ut timidus mactat, ut mactator . . ., vagatur autem ut homo vagus, interdum et ecclesias aedificat, et dies festos celebrat et sacra facit.

Quae cum ita essent, anno 6882, p. Chr. n. 1374, pestilentia mortifera in urbe Arta exoritur, et Petrus Leosas dominus ad superos abiit, statimque Ioannes Spatas tyrannus ex Acheloo adveniens Artam occupat, vir, in agendo promptus et omnino illustris, re et verbis insignis, et pulchritudine celebratus, ratio enim et actio revera ei inerat. sed etiam hic contra Ioanninam profectus Thomam vexabat et privabat, et continuo eum includebat.

Tempore praeterlapso, anno 6883, p. Chr. n. 1375 pestilentia rursus altera magna et mortifera in urbe Ioannina exoritur, et Irene filia Thomae morti occubuit. tyrannus autem Spatas non desiit sem-

πάντοτε σκυλεύειν ἐπιδρομαῖς κατὰ τοῦ Θωμᾶ μετὰ τῆς γενεᾶς αὐτοῦ τῶν Ἀλβανιτῶν, ἕως οὗ ὁ Θωμᾶς τὴν ἀδελφὴν αὐτοῦ Ἑλένην εἰς μνηστείαν τῷ Σπάτᾳ ἐξήγγειλε καὶ δώροις αὐτὸν συνεπέστρεψε, καὶ πάλιν ἐκεῖνος ἐδραπέτευε.

Τότε ὁ Θωμᾶς προσῳκειοῦτο ἑαυτῷ κλέπτας ῥυπαρούς, ληστὰς καὶ κουρσάρους, καὶ κατὰ τῶν Ἀλβανιτῶν αὐτοὺς ἐξήγειρε· τοὺς δὲ τοπικοὺς Ἰωαννίτας παντοιοτρόπως πάντας ἐμίσει, καὶ τοὺς ξένους ἠγάπα, πλεῖον δὲ πάντων τῶν ἄλλων Μιχαὴλ τὸν Ἀψαρᾶν, ὃν καὶ πρωτοβεστιάριον ἐτίμησεν. οὗτος μετὰ πάντων ὧν εἶχε κακῶν, καὶ κατὰ τῆς χρυσῆς τῷ ὄντι Ἀγγελικῆς, τῆς φυσικῆς κυρίας, λόγοις σφαλεροῖς καὶ αἰσχροῖς κατατολμᾷ, καὶ ἐμπίπλησι τὰς ἀκοὰς τοῦ Θωμᾶ· ὡς δέ τις σοφὸς προηγόρευσε λέγων "πονηρὸς λόγος καρδίαν ἀνδρὸς ταράσσει·" καὶ οὕτως ἀπ' αὐτῆς ἐξέκλινεν ὁ δεσπότης, καὶ εἰς κακίαν καὶ μῖσος πρὸς αὐτὴν παρετράπη, καὶ εἰς ἀρσενοκοιτίας πάθος ἐνέπεσε, καὶ κοιλιόδουλος ἀποκατέστη. τὰ δὲ κρυφῇ γινόμενα ὑπ' αὐτοῦ αἰσχρόν ἐστι καὶ λέγειν· παρεῖδε γὰρ ὅρια προγόνων ἅγια, καὶ ὅλως εἰς ἀποστασίαν ἐτράπη.

Ἔτι δὲ ἔτους 6886, ἀπὸ δὲ Χριστοῦ 1378, ἰνδικτιῶνος α΄, ἐκστρατεύει κατὰ τῶν Ἰωαννίνων ὁ Γίνης Φράτης μετὰ τῶν Μαλακασαίων, μηνὶ Σεπτεμβρίῳ, ἡμέρᾳ ιδ΄. καὶ μετ' ὀλίγου στρατοῦ τοῦ κάστρου πόλεμος γίνεται, καὶ κατὰ κρά-

per rapere, incursiones faciendo contra Thomam cum gente sua Albanitarum, donec Thomas Helenam sororem suam ad nuptias Spatae promisit, et donis eum permulsit, et rursus ille reversus est

Tum Thomas ad se trahere studebat fures sordidos, latrones et piratas, et contra Albanitas excitavit, incolas autem Ioanninitas omni modo omnes oderat, et peregrinos praeferebat, magis autem quam ceteros omnes Michaelem Apsaram, quem etiam protovestiarii honore donavit. hic praeter alia omnia quae habuit mala etiam auream revera Angelicam, veram regiam, verbis dolosis et turpibus tentat, auresque Thomae implet, ut autem sapiens quidam contendit, dicens prava oratio cor hominis concutit: atque hoc modo ab ea declinavit tyrannus, et in pravitatem et odium eius conversus est, et in cinaedorum vitium est lapsus et ventri deditus factus est, quae autem clam ab eo sunt patrata, dicere quoque turpe est, neglexit enim fines maiorum sacros, et omnino ad sacrilegium conversus est.

Anno autem 6886, p. Chr. n. 1378, indictionis primo, contra Ioanninam proficiscitur Gines Phrates cum Malacasaeis, mense Septembri, die decimo quarto, et cum parva manu castri bellum geritur,

τος οἱ Ἰωαννῖται νικῶσι, καὶ τὸν Γίνην Φράτην εἰσφέρουσι βαστάζοντα τύμπανα ἐπὶ τῶν ὤμων αὐτοῦ. καὶ ὅσους μὲν κατέσφαξαν, ἐπὶ τῶν ἁμαξῶν αὐτοὺς ἐτίθουν καὶ ἔθαπτον, τοὺς δὲ λοιποὺς εἰς φυλακὰς ἐδέσμουν καὶ ἀπημπώλουν. τοῦτο πρῶτον νῖκος τοῦ Θωμᾶ κατὰ τῶν Ἀλβανιτῶν ἐγεγόνει.

Τούτου τοῦ χρόνου τρέχοντος καὶ ὁ μέγας μαΐστωρ κατὰ τῆς Ἄρτης χωρεῖ, καὶ ἰσχυρῶς τὸν Σπάταν ἐνεῖχεν. οἱ δὲ Ἀλβανῖται συναθροισθέντες αὐτὸν κατετρόπωσαν, καὶ εἰς χεῖρας τοῦ Σπάτα ὁ μέγας μαΐστωρ ἔδοτο, καὶ μετ' ὀλίγας ἡμέρας πιπράσκει αὐτόν. οἱ δὲ Ἀλβανῖται τοσούτου πλούτου δραξάμενοι τὴν πανουργίαν τοῦ Θωμᾶ οὐκ ἐξέφυγον, ἀλλ' αὐτοὺς περιέργως ἐπιπηδᾷ καὶ ἀσφαλῶς ἐν τῇ φρουρᾷ ἀποκλείει.

Τότε παραυτίκα δολίως συσκευὴν κατὰ τῆς χώρας τῶν Ἰωαννίνων οἱ Μαλακασαῖοι ἐργάζονται, καὶ τὸν ἐπάνω γουλᾶν παραλαμβάνουσι, προδότην καὶ συνεργὸν ἔχοντες εἰς τοῦτο τὸν κωφὸν Νικηφόρον τὸν πετάτην, ὅς τις αὐτοὺς περᾷ ἐπὶ τῆς βάλκας αὐτοῦ, καὶ τοὺς μὲν ἐγκρίτους μετὰ τῶν ὅπλων, πλείους τῶν διακοσίων, εἰς τὸν γουλᾶν συνεισφέρει, τοὺς δέ γε ἄλλους, παγγενῆ πλήθη ἀναρίθμητα, ἐν τῷ νησίῳ διαπερᾷ. καὶ οὕτω στάσις μεγάλη τῇ πόλει ἐγένετο, ἔτους ὑπάρχοντος 6887, ἀπὸ δὲ Χριστοῦ 1379, μηνὶ Φευρουαρίῳ, ἰνδικτιῶνος β', σαββάτῳ πρώτῃ τῶν νηστειῶν. ἀλλ' ἡμῶν ὁ

et funditus victoriam reportant Ioannitae, et Ginen Phratem inducunt tympana in humeris portantem, et quotquot interfecerant, plaustris imposuerunt sepeliveruntque, ceteros autem in vincula dederunt atque vendiderunt. atque haec quidem prima contra Albanitas fuit victoria Thomae.

Hoc ipso anno etiam magnus Magister contra Artam proficiscitur, et vehementer premebat Spatam. Albanitae autem cum convenissent, illum in fugam verterunt, et magnus Magister in manus Spatae datus est, qui eum post paucos dies vendidit. Albanitae autem tantas nacti divitias dolum Thomae non effugerunt, sed ille eos solerter aggressus caute in praesidio inclusit.

Tum statim expeditionem contra Ioanninam Malacasaei dolose faciunt, et turrim supra urbem sitam occupant, proditorem et socium ad id adhibentes surdum Nicephorum, nautam, qui quidem eos traduxit navigio suo, atque delectos quidem cum armis, plures quam ducentos, ad turrim asportavit, ceteros autem, congeriem multitudinis censu carentis, ad insulam traduxit, atque hoc modo tumultus magnus in urbe exortus est, anno 6887, p. Chr. n. 1379, mense Februario,

λόγος ἐπὶ τὴν προδοσίαν ἐπαναγέσθω τῷ διηγήματι· ἔξωθεν γὰρ περιεκύκλουν τὴν πόλιν οἱ Ἀλβανῖται, ἔσωθεν δὲ παρηνώχλουν κακῶς τὸν γουλᾶν, κατὰ κράτος εἰς αὐτὸν ἐπισπώμενοι καὶ ῥοῦα ῥοῦα φωνάζοντες. τρεῖς δὲ ἡμέρας καὶ νύκτας οὐκ ἐπαύσαντο μετὰ τοῦ λαοῦ πολεμοῦντες, ἕως οὗ συνηθροίσθησαν πλῆθος ἄπειρον μετὰ τῶν μονοξύλων καὶ τῆς βάρκας, καὶ ἐκινήθησαν ἀπὸ τοῦ νησίου, ὅπως ἐπιβῶσι καὶ ἀνέλωσι τὴν πόλιν. οἱ δὲ τῆς χώρας οἰκήτορες ἐν τῇ λίμνῃ εἰσέπλευσαν μετὰ δύο βαρκῶν καὶ μονοξύλων ὀλίγων, καὶ κατὰ τοῦ στόλου τῶν ἐναντίων πόλεμον συνεστήσαντο. οἱ δὲ ἐναπολειφθέντες πρὸς τὸν ἀρχιστράτηγον τοῦ θεοῦ Μιχαὴλ σὺν οἰμωγῇ καρδίας οὕτως ἐβόων· "νῦν ἐκύκλωσαν ἡμᾶς δυσμενεῖς φθοροποιοί, καὶ ζητοῦσι καταπιεῖν τὴν σὴν πόλιν, ἀρχιστράτηγε, κατάβρωμα θέσθαι ἡμᾶς βουλόμενοι. τὰ βουλεύματα τούτων αὐτὸς ματαίωσον· τὰς ὁρμὰς τὰς λυσσώδεις αὐτὸς ἀνάστειλον· τὴν ὀφρὺν αὐτῶν κατάσπασον· σὺ προστάτης γὰρ ἡμῶν καὶ θεῖος φύλαξ ἀσφαλέστατος." ἐντεῦθεν εἰς φυγὴν οἱ ἐναντίοι ἐτράπησαν καὶ κατὰ κράτος ἀπώλοντο· οἱ δὲ τὸν γουλᾶν λῃστρεύοντες οἰκειοθελῶς παρεδόθησαν. καὶ ἦν ἰδεῖν τότε μεγάλην σωτηρίαν τῇ πόλει τῶν Ἰωαννίνων, ἣν ἐλυτρώσατο κύριος ὁ θεὸς ἐκ τῶν χειρῶν τῶν Ἀλβανιτῶν τῇ πρεσβείᾳ τοῦ φύλακος ταύτης, τοῦ ἀρχιστρατήγου Μιχαὴλ τῶν ἄνω δυνάμεων. τότε δῆτα καὶ ὁ Θω-

indictionis secundo, die primi sabbati sacrorum quadragesimorum. sed oratio nostra ad proditionem narratione reducatur. extra enim Albanitae urbem circumcludebant, intra autem turrim male vexabant, vehementer in eam ruentes, et rua, rua clamantes. per tres autem dies et noctes non desierunt cum populo pugnare. interea multitudo innumerabilis cum lintribus et navigio convenit, et ex insula se movit, ut urbem aggressa caperet. terrae autem incolae in lacu navigarunt cum duabus navibus et paucis lintribus, et classi hostium bellum paraverunt. qui autem relicti erant, ad summum ducem dei Michaelem cum lamentatione cordis hoc modo clamabant: nunc hostes devastantes nos circumcludunt et urbem tuam devorare student, summe dux, nos cibum reddere volentes. voluntatem horum praesens deleas, impetus furiosos praesens destituas, superbiam eorum detrudas, tu enim nobis praeses et divinus custos idque certissimus. deinde in fugam hostes versi et funditus deleti sunt, qui autem turrim spoliabant, victori se permiserunt, atque salutem magnam urbis Ioanninae videre licebat, quam dominus deus manibus Albanitorum liberaverat, misso custode eius, summo duce numinum superorum, Michaelem. tum igitur Thomas delectum Albanitarum in carcere includit,

μᾶς τοὺς ἐγκρίτους τῶν Ἀλβανιτῶν ἐν τῇ φρουρᾷ συναθροίζει, τοὺς δὲ ἑτέρους πρὸς τοὺς ἄρχοντας αὐτοῦ καὶ τὸν λαὸν τῆς πόλεως διεμερίσατο, καὶ αὐτοὺς πωλεῖν παρήγγειλε. τοῦ δὲ πλήθους, ὅσοι ἐν τῷ νησίῳ εὑρέθησαν, τοὺς μὲν Ἀλβανίτας πρὸς τὸν λαὸν διεμέριζε πρὸς κυβέρνησιν, καὶ ἀπημπώλουν αὐτούς, τοὺς δὲ Βουλγάρους καὶ Βλάχους ῥινοτόμους ᾑρετίσατο. αἱμάτων δὲ χύτρα ἦν τότε ἡ πόλις τῶν Ἰωαννίνων, ὡς ἔκπαλαι τῶν μαρτύρων ἡ Νικομηδέων μεγαλόπολις· εὐκαιρίαν γὰρ εὑρὼν τότε ὁ Θωμᾶς τοὺς Ἀλβανίτας κακῶς καὶ ἀνηλεῶς ἐτυράννει, ὡς καὶ Ἀλβανιτοκτόνος ἐπεθύμει εἶναι καὶ ὀνομάζεσθαι.

Τοῦ ἔαρος δὲ ἐλθόντος, ἐν μηνὶ Μαΐῳ, ἦλθε πάλιν Ἰωάννης ὁ Σπάτας κατὰ τῶν Ἰωαννίνων, καὶ εἰς ἀφανισμὸν τά τε χωρία καὶ τὰ ἀμπέλια πάντα πεποίηκεν. ὁ δὲ Θωμᾶς τοὺς Ἀλβανίτας πάντοτε ἐτυράννει ἰσχυρῶς, ποτὲ μὲν κρεμνῶν αὐτοὺς ἐκ τῶν πύργων, ποτὲ δὲ καὶ τὰ μέλη αὐτῶν ἐκκόπτων ἢ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττων, οὓς πρὸς τὸν Σπάταν ὡς μικρὸν κανίσκιον ἐξέπεμπεν, ἕως οὗ εἰς τὰ ἴδια ὁ Σπάτας ὑπεχώρει.

Ἐντεῦθεν οἱ δημεγερθέντες ἐξεφάνησαν· καὶ τὸν Ἰωάννην, ἕνα τῶν Βουλγάρων, διὰ τοῦτο κατεκρήμνισαν, τὸν Θεοχάρην κατέκοψαν, τὸν Γαστριτζιώτην ὑπὸ ἵππων κατέσυραν, ἑτέρων τοὺς ὀφθαλμοὺς ἐξώρυξαν, ὧν οἱ πλείονες χωρὶς

ceteros autem inter principes suos et populum urbis divisit, et vendi eos iussit, multitudinis autem eorum, qui in insula reperti sunt, Albanitas inter populum dividebat gubernandos, et vendebant eos, Bulgaros autem et Blachos nasorum amputandorum condemnavit. sanguinis autem vas tum erat urbs Ioannina, qualis olim fuit Nicomediae magna nrbs martyrum; occasionem enim nactus Thomas Albanitas tum male et crudeliter cruciabat, ita ut etiam Albanitarum parricida vellet esse et vocari.

Cum ver advenisset, mense Maio, Ioannes Spatas contra Ioanninam rursus venit, et rura et vineas omnes delevit, Thomas autem Albanitas semper vehementer cruciabat, interdum eos pendendo e turribus, interdum etiam membra eorum caedendo, aut oculos effodiendo, quos ad Spatam ut canistrum parvum emisit, donec in terram suam Spatas recessit.

Tum demagogi delecti sunt, atque Ioannem, unum Bulgarorum, propterea ex alto deiecerunt, Theocharem ceciderunt, Gastritzioten ab equis raptari iusserunt, aliorum oculos effoderunt, quorum maxima pars culpae expers erat, alii sunt expulsi, alii in vincula dati; plures

πταίσματος. ἄλλοι δὲ ἐξωσθησαν, ἕτεροι δὲ ἐφυλακώθησαν· πλείονες δὲ ἀπὸ ψιθυρίσματος τοῦ τυράννου καὶ τοῦ αὐτοῦ θεράποντος Ἀψαρᾶ, εἰ καὶ πταῖσμα οὐκ εἶχον, μόνον ὑπὸ τοῦ φόβου οἰκειοθελῶς ἐξωρίζοντο καὶ ἀπέφευγον. καὶ πάλιν μῖσος καὶ κακία τοῦ Θωμᾶ ἀπ' ἀφορμῆς ταύτης ἐγείρεται, καὶ τὴν οἰκίαν αὐξάνει, τὰ μονοπώλια βεβαιοῖ, τὰς ζημίας ἐνεργεῖ, τὰς ἀγγαρείας πλεονάζει, τοὺς οἴκους τῶν Ἰωαννιτῶν μετὰ τῶν ἄλλων κτημάτων ἁρπάζει, τοὺς ἀλλοτρίους οἰκίζει, τοὺς ξένους ἀγαπᾷ, καὶ τοὺς ἰδίους μισεῖ καὶ ἀποστρέφεται· μικρὰ γὰρ πᾶσα κακία πρὸς κακίαν τὴν τοῦ Θωμᾶ.

Τὸν αὐτὸν ἤδη χρόνον, κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως, προσῆλθον αὐτῷ ἀπὸ τὰ μέρη τῆς Καστορίας τῶν ἐντίμων ἀρχόντων ὁ θεωρίᾳ καὶ πράξει χαριτώνυμος Θεοφύλακτος, καὶ μετ' αὐτοῦ ὁ Χοντέζης λεγόμενος· ζητοῦσι δὲ αὐτὸν αὐθέντην καὶ ἡγεμόνα τοῦ κάστρου Σερβίων. αὐτὸς δὲ κυριευόμενος ὑπὸ τῆς φιλαργυρίας ἐν τῇ φρουρᾷ αὐτοὺς ἀποκλείει, ζητῶν, ἃ ἐπόθει καὶ ἐφίλει, χρήματα.

Καὶ πάλιν, τοῦ χρόνου τούτου διελθόντος, ἐξ ἐπιβουλῆς τοῦ Χουχουλίτζα τοὺς ἐγκρίτους τῶν Ἰωαννίνων εἰς φυλακὴν ἔβαλεν, ὧν τὸν μὲν Μανουὴλ Φιλανθρωπινὸν τὸν πρωτασηκρήτην δολίως κρατήσας ἐν τῇ φρουρᾷ, ἐάσας πάλιν ἐντίμως αὐτὸν εἶχεν, ἕως οὗ κεράσας αὐτὸν οἶνον ἐθανάτωσε· τὸν δὲ Κωνσταντῖνον τὸν προκαθήμενον κρατήσας μετὰ δεσμῶν

autem propter calumiam tyranni, et eius famuli Apsarae, etiamsi culpa carerent, solum timore ducti propria voluntate e finibus discedebant et aufugiebant et rursus odium et pravitas Thomae hac occasione excitantur, et vini vectigalia auget, monopolia confirmat, poenas efficit, operas tributarias duplicat, domos Ioannitarum cum ceteris bonis rapit, alienos domibus donat, peregrinos amat, suos odit et ab iis se avertit. parva enim videbatur omnis pravitas pro pravitate Thomae.

Eodem iam anno, die dominica ante Chr. n., ad eum venerunt e partibus Castoriae honoratorum principum Theophylactus, ratione et factis grati nominis, cumque eo Chontezes, quaerunt autem eum dominum et ducem castri Serbiorum. ille autem, pecuniae cupiditate captus, in custodia eos inclusit, quaerens, quas desiderabat et amabat, divitias.

Et rursus, hoc anno praeterlapso, ex consilio Chuchulitzae delectum Ioannitarum in vincula coniecit, inter quos Manuelem Philanthropinum primum scribam dolose in carcere retentum rursus liberans honoribus affecit, donec vinum miscendo eum necavit: Constan-

εἰς κλωβίον χρόνους πέντε, τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύττει, καὶ εἰς τὴν Βουρσίναν ἐκπέμπει, κἀκεῖ τῷ τῆς καθοσιώσεως πτώματι αὐτὸν ὑποβάλλει· κἀκεῖσε ἐτάφη. τῶν δὲ λοιπῶν οὓς ἐν τῇ φρουρᾷ ἐνετεθείκει, τῶν μὲν τοὺς ὀφθαλμοὺς ἐξώρυξε, τοὺς δὲ ἐν ὑπερορίᾳ ἐξέδοτο· καὶ πᾶσαν πόλιν καὶ χώραν τῶν Ἰωαννιτῶν πληρῶν τὰ Ἰωάννινα ἐκένωσε.

Μετὰ δὲ πάντων ὧν εἶχε κακῶν, καὶ τοὺς Ἰσμαηλίτας προσεκαλέσατο, ἐπὶ τοῦ 6888 ἔτους, ἰνδικτιῶνι 3, ἀπὸ δὲ Χριστοῦ 1380. καὶ ἦλθεν ὁ Ἰσαῒμ Ἰουνίου 2, καὶ ᾐχμαλώτισε τὴν Βελὰν καὶ Ὀπάν, ὅτε καὶ Μαζαρακίους καὶ Ζενεβισαίους εἰς τὰς Πολιτζὰς κατέκλεισε. τότε ἤρξατο ὁ Θωμᾶς παραλαμβάνειν τὰ καστέλια, ἀρχῇ τὴν Βουρσίναν, εἶτα τὴν Κρετζούνισταν, ἔπειτα τῆν Δραγομήν, καὶ τὴν Ἀρεοχοβίτζαν ἐξωνήσατο, καὶ ἄλλα πλείονα· τότε τοὺς ἄρχοντας αὐτῶν τοὺς μὲν κεφαλάδας κατέστησεν, ἄλλους δὲ ζουπαναίους ἐτίμησε. ἀλλ' ὅσον ἐνεδυνάμονε, τοσοῦτον αὐτὸν ἡ κακογνωμία συνέθλιβε· καὶ τοὺς Ἀλβανίτας ἀεὶ ἐτυράννει, τοὺς δὲ τοπικοὺς τῶν Ἰωαννίνων κακῶς διετήρει καὶ ἐξῆγεν.

Ἀλλὰ καὶ ὁ τιμιώτατος ἐν ἱερομονάχοις κὺρ Ἡσαΐας, καθηγούμενος τοῦ Μετζόβου, οὐκ ἐξέφυγεν τὴν πλεονεξίαν τοῦ τυράννου· δεσμεύσας γὰρ αὐτὸν ὡς κακοῦργον ἔθηκεν εἰς κλωβίον διὰ φιλαργυρίαν, καὶ ἐξηγοράσθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ παρὰ θεοφιλῶν ἀνδρῶν εἰς ἄσπρα 200· καὶ πά-

tinum autem praesidem cum per quinque annos vinculis in barathro retinuisset, oculos eius effodit et Bursinam mittit, ibique in laesae maiestatis culpam eum intrudit, ibique ille sepultus est, ceterorum autem, quos in carcerem coniecerat, aliis oculos effodit, alios in terras alienas emisit, et omnem urbem terramque per Ioannitas implens, Ioanninam vacuefecit.

Praeter omnia autem, quae excitabat, mala etiam Ismaelitas advocavit, anno 6888, indictionis 3, p. Chr. n. 1380, et advenit Isäim die 2 mensis Iunii, et Belam Opamque cepit, tum etiam Mazaracios et Zenebisaeos in Politzis inclusit. tum Thomas castella occupare coepit, primum Bursinam, deinde Cretzunistam, tum Dragomen et Areochobitzam sibi comparavit et alia complura, quorum principes tum alios nomine Cephaladarum (i. e. ducum) constituit, alios nomine Zupanaeorum (i. e. iudicum) honoravit. sed quam maxime eum pravitas comprimebat, et Albanitas semper cruciabat, et incolas Ioanninae male habebat et diripiebat.

Sed etiam honoratissimus inter monachos sacros dominus Hesaias, praeses Metzobii, aviditatem tyranni non evitavit: vinxit enim eum ut sceleratum et in barathrum dedit propter aviditatem, et redemti sunt

λιν ὁ τύραννος αὐτοὺς ἐξορύττει, καὶ αὐτὸν πιπράσκει. καὶ ὅσοι τῶν ὑπὸ τὴν ἐκκλησίαν ἢ πάροικοι ὑπὸ τὴν κακοπραγίαν αὐτοῦ ἐναπελείφθησαν ἄνθρωποι, ἐξέβαλε μὲν αὐτοὺς τῆς Προνοίας, οὐκ εἶα δὲ ἐν τῇ ἐκκλησίᾳ, ἀλλὰ δι' ἑαυτοῦ αὐτὸς ἐπεκράτει. καὶ τὸν ἅγιον δὲ Δονάτον παρὰ τοῦ Μυρσιροβέρτου ἐξωνήσατο.

Τῷ δὲ 6889 ἔτει, ἀπὸ δὲ Χριστοῦ 1382, ἰνδικτιῶνι ε', ἔφερε τὸν Κωστῆν μετὰ Τούρκων, καὶ τοὺς Ζουλαναίους ᾐχμαλώτισε. καί τις σοφὸς αὐτὸν προσηγόρευσεν οὕτως εἰπὼν "Θωμᾶς ὁ δεσπότης ἀστοχήσας τοῖς Λατίνοις Τούρκοις συγκοινωνεῖ·" καὶ ἀποστάτην αὐτὸν ἐμαρτύρει, λέγων ὅτι εἰ ἦν μεταποιῆσαι ἀντίτυπα τῶν κτισμάτων, ἓν πρὸς ἄλλο εὑρίσκετο ἄν, τὸ δὲ τοῦ διαβόλου σκεῦος οὐκ ἂν ἄλλο εὑρίσκετο εἰ μὴ τὸ τοῦ Θωμᾶ σκῆνος. τοῦτο δὲ ἐκείλει τὸ μὲν πρότερον οὐ φανερῶς, ὕστερον δὲ καὶ κατέμπροσθεν αὐτοῦ ἐκήρυξε, λέγων "τοιοῦτος εἶ σύ, καὶ οὕτω σε λέγομεν."

Καὶ τῷ αὐτῷ ἔτει πάλιν ἦλθεν ὁ Ἰσαΐμ, Μαΐου 5, ὅτε καὶ τὸν Ῥευνῆκον ὑπὸ σπαθίον ἐπῆραν οἱ Τοῦρκοι.

Καὶ πάλιν ὁ Σπάτας ἦλθεν ἕως τῆς Ἀρούλης· καὶ ὁ Μυρσιμακαζιανός, γαμβρὸς ὢν τοῦ Σπάτα, μετὰ μεγάλης τιμῆς εἰς τὴν πόλιν εἰσῆλθε, καὶ μετὰ τῆς Ἑλένης τὸν Σπάταν ψευδοβιβάζεται, καὶ αὐτὸν ὑποστρέφει καὶ τοὺς Ζα-

14. ἐλάλει?

oculi eius per viros pios pro 200 aspris, et rursus tyrannus eos effodit, eumque vendit, et eos, qui ex ordine ecclesiastico aut eius pravitati vicini relicti erant, ex coenobio Providentiae expulit, neque sivit eos in ecclesia morari, sed ipse per se eam occupavit, et sanctum Donatum a domino Roberto redemit.

Anno autem 6889, p. Chr. n. 1382, indictionis 5, Costem cum Turcis adduxit, et Zulanaeos cepit, et sapiens quidam eum allocutus est his verbis, Thomas tyrannus Latinis desertis cum Turcis agit, et apostatam eum esse testatus est, cum diceret, si difiingere liceret antitypum mundi, aliud pro alia re inventum iri, quod autem ad diaboli corpus attineat, aliud nullum inventum iri nisi Thomae cadaver. haec quidem antea non aperte loquebatur, postea autem etiam coram eo pronuntiabat, his verbis: talis tu es, et hoc nomine te vocamus.

Atque eodem anno Isaim reversus est, mensis Maii die 5, cum etiam Reunecum gladio caperent Turcae.

Et rursus Spatas usque ad Arulam venit, et dominus Macarianus, gener Spatae, magnis cum honoribus in urbem venit, et cum Helena Spatam matrimonio ficto conducit, et eum revertentem facit, et

βεμβεσαίους παραλαμβάνει, καὶ τὸν τόπον αὐτῷ ἀναγράφει, τήν τε Βελᾶν καὶ τὴν Δρυϊνούπολιν καὶ τὴν Βαγενετίαν, ἀλλὰ δὴ καὶ τοὺς Μαλακασαίους ἕως τῶν Κατούνων. καὶ τῷ 6891, ἀπὸ δὲ Χριστοῦ 1383, ἰνδικτιῶνι ε', μηνὶ Σεπτεμβρίῳ, πάλιν ὁ Σπάτας ἀφήσας τὴν ψευδαγάπην, ἦλθε ζητῶν τῆς Ἑλένης τὴν προῖκα. ὁ δὲ μετὰ μικρῶν δώρων αὐτὸν ἀποστρέφει, καὶ ὑπὸ τῶν Μαλακασαίων δεκαπλασίως αὐτὸς ἱκανώθη.

Τῷ αὐτῷ ἔτει, Σεπτεμβρίου 8, ἦλθεν εἰς τὸν ἑαυτοῦ θρόνον ὁ πανιερώτατος μητροπολίτης κύριος Ματθαῖος, ἐπέχων καὶ τὸν Ναυπάκτου θρόνον. τῷ αὐτῷ ἔτει ἀπεστάλη ὁ τιμιώτατος καθηγούμενος τοῦ ἀρχιμανδρίου Γαβριὴλ πρὸς τὸν βασιλέα Μανουὴλ τὸν Παλαιολόγον, καὶ ἐλθὼν μετὰ τοῦ ἄρχοντος Μαγγαφᾶ ἐνεδύσατο αὐτὸν τὰ δεσποτικὰ ἀξιώματα, καὶ ἐτέλεσε τότε τὴν θείαν μυσταγωγίαν ὁ ἁγιώτατος μητροπολίτης. ὁ δὲ Θωμᾶς τοὺς μὲν παροίκους τῆς αὐτοῦ ἐκκλησίας ἀφῆκε τῷ μητροπολίτῃ, αὐτὸν δὲ τῷ ἑαυτοῦ θελήματι οὐχ ὑπεδέχετο· καὶ διὰ τοῦτο πλέον τὴν οἴκησιν ὁ ἀρχιερεὺς ἐν τῇ Ἄρτῃ ἦγεν, ἕως ὅτου καὶ ἐξόριστος ὑπὸ τοῦ ἀποστάτου ἐγένετο, ὅπερ παρακατιὼν ὁ λόγος δηλώσει.

Τῷ δὲ 6893 ἔτει, ἰνδικτιῶνι 8, ἀπὸ δὲ Χριστοῦ 1385, ἦλθεν ὁ Ταμουρτάσης μετὰ πλήθους Ἀγαρηνῶν εἰς τὸν καιρὸν τοῦ τρύγους· καὶ κατὰ τῆς Ἄρτης ἐκστρατεύσας, καὶ αἰχμαλω-

Zebembesaeos accipit, et terram ei tribuit, Belam et Drynopolim, et Bagenetiam, atque adeo Malacasaeos usque ad Catunorum fines. atque anno 6891, p. Chr. n. 1383, indictionis 5, mense Septembri, Spatas cum amorem fictum rursus abiecisset, venit Helenae dotem quaerens. ille autem muneribus parvis eum avertit, et Malacasaei damnum ei decuplici modo praestare coacti sunt.

Eodem anno, die 8 mensis Septembris, solium suum metropolita sanctissimus dominus Matthaeus ascendit, obtinens etiam Naupacti solium. eodem anno praeses Archimandrii honoratissimus Gabriel ad regem missus est Palaeologum, qui cum principe Mangapha postquam advenit, regni honoribus eum induit, et divinam tum perfecit ordinationem metropolita sanctissimus. Thomas autem vicinos ecclesiae eius permisit metropolitae, ipsum autem ex sua voluntate non recepit, atque eo magis domicilium archiepiscopus Artae habuit, donec et ipse per apostatam exsul factus est, id quod narratione posteriore declarabitur.

Anno autem 6893, indictionis 8, p. Chr. n. 1385, Tamurtases cum multitudine Agarenorum circa tempestatem vindemiae venit; qui contra Artam profectus cum captivorum multitudinem nactus es-

σίαν ποιήσας ἱκανήν, οἴκαδε ἐπανῆλθε. τότε δὴ ὁ Σπάτας τὸν ἀρχιερέα ἐκπέμπει μετὰ τοῦ Καλογνώμου, δυσωπῶν τὸν τύραννον, ὅπως διώξωσιν ἀμφότεροι τοὺς Ἀγαρηνούς. αὐτὸς δὲ οὐκ ἠνέσχετο, ἀλλ' εὐκαιρίαν εὑρὼν τὸν ἀρχιερέα ἐξόριστον πέμπει, τὸν δὲ Καλόγνωμον κρατεῖ καὶ τὴν ἐκκλησίαν προδίδωσι τῷ Σεναχερίμ. καὶ ταῦτα μὲν οὕτω.

Τῷ αὐτῷ δὲ ἔτει, Δεκεμβρίου 23, ἐπιφωσκούσης τῆς πέμπτης, ὥρᾳ 5 τῆς νυκτός, ἐσφάγη ὁ Θωμᾶς παρὰ τῶν ἰδίων αὐτοῦ σωματοφυλάκων, τοῦ τε Νικηφοράκη καὶ Ῥαϊνάκη καὶ Ἀρταβέστου καὶ Ἀντωνίου τοῦ Φράγκου. τότε συναθροίζονται πάντες οἱ Ἰωαννῖται ἐν τῇ μητροπόλει, καὶ μιᾷ φωνῇ τὴν φυσικὴν αὐτῶν κυρίαν, τὴν συγκακοπαθήσασαν αὐτοῖς, ἐκζητοῦσι καὶ προσκυνοῦσιν. ἡ δὲ τὸν Μελιγλάβον μετὰ τοῦ Ἀψαρᾶ κυρίου Θεοδώρου τοὺς Ἰωαννίτας μετακαλεῖ· καὶ εἰς ἓν ἄμφω γενόμενοι ἐντίμως τὸν ἀποστάτην θάπτουσι, καὶ τὸν ἀδελφὸν αὐτῆς τὸν βασιλέα Ἰωάσαφ εἰσφέρουσιν. ἡ ἀγαθὴ δὲ βασίλισσα, οἷα τοῦ κοινοῦ ἀπαλλαγεῖσα κακοῦ, τοὺς πάντας εὐεργετεῖ, καὶ τοὺς ἐν ὑπερορίᾳ ὄντας καὶ ἐξορίᾳ γράμμασι στέλλεται καὶ μετακαλεῖ.

Οἱ δὲ Ἀλβανῖται μετὰ τοῦ Σπάτα παραυτίκα τὴν πόλιν πολιορκοῦσιν. ὁ δὲ βασιλεὺς Ἰωάσαφ μετὰ τῆς χρηστῆς τῷ ὄντι βασιλίσσης καὶ τῶν ἐγκρίτων ἀρχόντων βουλὴν ποιη-

set, domum reversus est. tum Spatas archiepiscopum cum Calognomo mittit, persuadens tyranno, ut uterque Agarenos pelleret. ille autem hoc non accepit, sed occasionem nactus, archiepiscopum in exilium mittit, Calognomum retinet, et ecclesiam prodit Senacherimi (i. e. principi tenebrarum). atque haec hac ratione facta sunt.

Eodem autem anno, mensis Decembris die 23, hora quinta noctis Thomas a suis stipatoribus necatus est, Nicephorace, et Rainace, et Artabesto, et Antonio Franco. tum Ioannitae omnes in urbem capitalem conveniunt, et una voce veram suam dominam, quae cum iis mala pertulerat, petunt et reginam salutant. illa autem Meliglabum et dominum Theodorum Apsaram Ioanninas advocat, et uterque cum advenisset, apostatam digne sepelit et regem Ioasaphum fratrem reginae accersit. regina autem bona, quippe quae a communi liberata esset malo, omnes benigne tractat, et eos, qui in terris alienis et exilio erant, literis restituit et advocat.

Tum Albanitae cum Spata urbem statim oppugnant. Ioasaphus autem rex cum regina revera bona et gravissimi principes consilium instituunt, et Isaum, qui et ipse in Cephaleniam dominabatur, coniu-

σάμενοι, τὸν Ἰζαοῦ, ὄντα καὶ αὐτὸν εἰς τὴν Κεφαλληνίαν αὐθέντην, μνήστορα πρὸς τὴν βασίλισσαν προβάλλουσιν. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ πρωτοβεστιάριος ὁ Ἀψαρᾶς Μιχαὴλ μετὰ τῶν παίδων αὐτοῦ ἐν τῇ εἱρκτῇ ἐκτίθενται καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττονται καὶ ὕστερον ἐξορίζονται· οὕτω γὰρ τιμᾶν οἴδασιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς, καὶ τοιαύτας δωρεὰς ἀπονέμουσι τοῖς φίλοις αὐτῶν.

Ἀμέλει μετ' ὀλίγας ἡμέρας ἔρχεται ὁ Ἰζαοῦ, καὶ δέχονται αὐτὸν οἱ Ἰωαννῖται ὑπτίαις χερσὶ καὶ δεσπότην αὐτῶν ἀνευφημοῦσιν, μηνὸς Ἰανουαρίου 30. παραυτίκα δὲ ἐκκαλοῦσι παράνυμφον ἀπὸ τῆς Βλαχίας τὴν Καισάρισσαν, ἥτις μετὰ τοῦ Στεφάνου εἰσῆλθε καὶ τὸν γάμον εὐτρέπισε. καὶ τὰ μνῆστρα εὐλογήθησαν, καὶ εἰς μεγάλην χαρὰν καὶ ἀγαλλίασιν τότε ἡ πόλις τῶν Ἰωαννίνων συνετέλει καὶ συνεσεμνύνετο. ἀγαθὸς δὲ ὢν ὁ δεσπότης τοὺς πάντας τότε ᾤκτειρε καὶ ὕστερον ἐκληροδότησε.

Καὶ πρῶτον μὲν τὴν ἐκκλησίαν συστέλλει, καὶ τὸν ποιμενάρχην αὐτῆς Ματθαῖον μετακαλεῖ, καὶ τὴν ἐκκλησίαν αὐτῷ παρατίθησι μετὰ τῶν ὑπαρχόντων καὶ κτημάτων αὐτῆς, καὶ ἐντίμως αὐτὸν περιέχει· ἔπειτα δὲ καὶ τοὺς ἐν ὑπερορίᾳ καὶ ἐξορίᾳ μετακαλεῖ, τοὺς παρὰ τοῦ ἀποστάτου τυράννου διασκορπισθέντας Ἰωαννίτας. τότε τοίνυν ὁ Ἰζαοῦ, φι-

gem reginae proponunt, neque multum interfuit tempus, cum Michael Apsaras Protovestiarius cum filiis suis in vincula daretur et oculis effossis postea mitteretur in exilium, hoc enim modo diaboli eos honorare solent, qui eos honorant, et talia dona amicis suis tribuunt.

Certe post dies paucos Izaus advenit, eumque Ioannitae manibus supinis recipiunt, et dominum suum eum salutant, die 30 mensis Ianuarii. statim arcessunt e Valachia imperatricem (i. e. dominam matrem) paranympham, quae cum Stephano advenit, et nuptias paravit, et sponsalia celebrata sunt, et magno cum gaudio magnaque cum laetitia ea urbs Ioannina tum parabat et celebrabat. dominus autem bonus omnes tum miseratus postea in bona restituit.

Atque primum quidem ecclesiam componit et archiepiscopum eius Matthaeum arcessit, et ecclesiam cum bonis et possessionibus eius ei tradit, et honoribus eum effert, deinde etiam eos, qui in finibus externis et in exilio erant, arcessit, Ioannitas a tyranno apostata disiectos. tum igitur Izaus, Christi amans, cum Angelica pia regina et Ioasapho rege divinissimo, carceres vacuefecerunt, barathra et carceres perpetuos aperuerunt, coitum impudicum coercuerunt, domos

λόχριστος ὤν, μετὰ τῆς εὐσεβοῦς βασιλίσσης Ἀγγελικῆς καὶ τοῦ θειοτάτου βασιλέως Ἰωάσαφ τὰς φυλακὰς ἐξεκένωσαν, τὰ κλωβία καὶ τὴν παλιουρὴν ἐχάλασαν, τὰ κοιμητάτα κατέπαυσαν, τοὺς δὲ οἴκους τοῖς κληρονόμοις ἀπέδωκαν, καὶ τὰς πολλὰς δουλείας καὶ ἀγγαρείας, ἀλλὰ δὴ καὶ τὰς ζημίας μετὰ τῶν δαρμῶν, ἃ πρότερον εἶχον παρὰ τοῦ τυράννου, αὐτοὶ κατέπαυσαν. διὰ τοῦτο οἱ Ἰωαννῖται πανυψηλότατον καὶ ἐκλαμπρότατον αὐτὸν ἀνεκήρυξαν. ἐπληρώθη δὲ τὸ φάσκον "τότε τὸ καλὸν δοξασθήσεται, ὅταν τὸ κακὸν αἰσχυνθήσηται· ἡλίου γὰρ λάμψαντος τὸ σκότος ἠφανίσθη." οὗτος οὐ μόνον τοὺς κατοικοῦντας ἐντὸς τῶν Ἰωαννίνων ἐγλύκανεν, ἀλλὰ καὶ τοὺς ἔξωθεν Ἀλβανίτας εἰς γαλήνην καὶ ἀγάπην εἰρηνικὴν κατέστησεν.

Ἀλλ' ὁ Σπάτας φθονῶν οὐκ ἐπαύσατο, ἀλλὰ δρομαῖος πάλιν ἦλθε κατὰ τῶν Ἰωαννίνων· καὶ ὁ δεσπότης Ἰζαοῦ ἐπισυνάξας τὰ στρατεύματα κατὰ τοῦ Σπάτα ἐχώρει. ὁ δὲ Σπάτας ἰδὼν αὐτὸν φυγὰς ᾤχετο, καὶ μετὰ ταῦτα ἀγάπην ἐποίησαν. καὶ τὸν ἐρχόμενον χρόνον ἔφερεν ὁ Παλαιολόγος Βριένης τὰ δεσποτικὰ ἀξιώματα καὶ ἔστεψε τὸν Ἰζαοῦ, τῶν δύο ἐπισκόπων τὴν θείαν μυσταγωγίαν τελεσάντων, τοῦ τε Βελᾶς καὶ τοῦ Δρυινουπόλεως, παρόντος καὶ τοῦ μητροπολίτου.

Τούτων οὕτως ἐχόντων, τῷ 6894 ἔτει, ἀπὸ δὲ Χριστοῦ 1385, ὁ πανιερώτατος μητροπολίτης Ματθαῖος μετῆλθεν ἐν-

heredibus reddiderunt, et multas servitutes et operas tributarias, atque poenas et fustes, quae per tyrannum antea perferebant, illi finiverunt. propterea Ioannitae altissimum eum et illustrissimum pronuntiarunt, atque est confirmatum dictum illud: tum demum pulchrum honorabitur, cum malum abiectum erit. sole enim lucente tenebrae diffugerunt. hic non solum Ioanninae incolas laetos reddidit, sed etiam Albanitis exteris tranquillitatem et amicitiam pacatam constituit.

At Spatas invidere non desiit, sed celeriter rursus contra Ioanninam profectus est, et dominus Izaus exercitibus coactis Spatam aggreditur. Spatas autem eo conspecto in fugam se praecipitavit, et postea amicitiam iungunt. atque anno sequente Briones Palaeologus regni insignia adportavit, et coronavit Izaum, cum episcopi duo ordinationem perficerent, episcopi Velae et Drynopolis, et metropolita quoque adesset.

Quae cum ita fierent, anno 6894, p. Chr. n. 1385, Matthaeus metropolita sanctissimus hinc ad sedes aeternas transiit. tum Izaus

τεῦθεν πρὸς τὰς αἰωνίους μονάς. τότε Ἰζαοῦ ὁ δεσπότης, φιλόχριστος ὤν, οὐκ ἐπηκολούθησε τὰ βουλεύματα τῶν Σέρβων, καθὼς αὐτοὶ ἠνάγκαζον αὐτόν, ὅπως ἐάσῃ αὐτοῖς τὰ τῆς ἐκκλησίας κτήματα καὶ ὑπάρχοντα, ἀλλ' εἰς ἔννοιαν καὶ σκέψιν ἐλθὼν ἐξελέξατο ἄνδρα τίμιον καὶ εὐλαβῆ, εὐάρεστον θεῷ καὶ ἀνθρώποις, τὸν τοῦ ἀρχιμανδρείου ἡγούμενον Γαβριήλ, ὃς καὶ τοῦ ἀρχιερατικοῦ θρόνου ὕστερον ἐπέβη. τοῦτον ἐκ παρακλήσεως πολλῆς τοῦ δεσποτάτου καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων προσέφερον τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, τῇ πρώτῃ τοῦ Ἰανουαρίου μηνός, καὶ ὑποψήφιον αὐτὸν ὠνόμασαν καὶ ἐτίμησαν.

Τῷ αὐτῷ ἔτει ὑπῆγεν ὁ δεσπότης εἰς τὸν ἀμηρᾶν. τότε καὶ βροντὴ γέγονε μεγάλη ἐπὶ τοῦ καμπαναρίου τοῦ μοναστηρίου, καὶ ψυχαὶ δεκατέσσαρες ἐβροντήθησαν. ἔστησε δὲ τὴν ἐκκλησίαν, ἥτις ἦν ἔρημος τότε, ὁ ὑποψήφιος, καὶ τοὺς ἐκκλησιαστικοὺς πρὸς ἑαυτὸν συνέστειλεν· ἐποίμανε δὲ τὴν ἐκκλησίαν καλῶς καὶ θεοφιλῶς χρόνους δύο, καὶ εἰς τιμὴν καὶ βουλὴν καὶ μεγάλην ἀγάπην οἱ αὐθένται αὐτὸν εἶχον. ἐν ἔτει δὲ 6895, *ἰνδικτιῶνι α', ἀπὸ δὲ Χριστοῦ* 1388, *κοινῇ πάντων βουλῇ στέλλεται οὗτος ὁ ὑποψήφος εἰς Κωνσταντινούπολιν, μηνὸς Ἀπριλλίου* 23, *κἀκεῖσε ἐποίησε μῆνας ἕνδεκα. ἐνταῦθα δὲ εἰσῆλθε τὸν ἐρχόμενον χρόνον, μηνὶ Μαρτίῳ, κυριακῇ τρίτῃ τῶν νηστειῶν.*

dominus, Christi amans, voluntatem Serborum non est secutus, cum illi ab eo peterent, ut sibi bona et possessiones ecclesiae permitteret, sed cogitatione et deliberatione instituta, elegit virum dignum et cautum, gratum deo et hominibus, Archimandrii praesidem Gabrielem, qui episcopi solium postea ascendit. hunc igitur propter hortationem multam despotati et praesidum ecclesiae ad ecclesiam sanctissimam adduxerunt, primo die mensis Ianuarii, et clam creatum eum vocarunt honoraruntque.

Eodem anno tyrannus ad ameram (i. e. nobilem, Sultanum, Emir) se contulit. tum etiam fulmen in turrim campanariam monasterii incidit, et quatuordecim homines icti sunt fulmine. composuit autem ecclesiam, quae tum erat deserta, clam creatus, et ecclesiasticos ad se coegit; administravit autem bene et pie ecclesiam per duos annos et in honore et consilio et magno amore principes eum habebant. anno 6895, indictionis primo, p. Chr. n. 1388, communi omnium consilio hic clam creatus Constantinopolim se confert, mensis Aprilis die 23, ibique menses undecim moratus est. tum anno sequente reversus est, mense Martio tertia dominica sacrorum quadragesimorum.

Τῷ αὐτῷ ἔτει ἐσφάγη ὁ ἀμηρᾶς Ἀμουράτ καὶ ὁ Λάζαρος, μηνὶ Ἰουνίῳ. Ἰουλίου δὲ 7 λογισάμενος ὁ Σπάτας πάλιν ἔδραμεν εἰς τὰ Ἰωάννινα, καὶ συλλέξας κοῦρσα τινὰ ἐκάθησεν ἀπέναντι τῆς πόλεως· καὶ οἱ Μαλακασαῖοι ἀπέστησαν καὶ τὸν Σπάταν προσκυνοῦσι, τὰ δὲ λήια κατοῦσι καὶ τοὺς ἀμπελῶνας ἀναιροῦσι καὶ τὴν Βελτζίσταν παραλαμβάνουσι. καὶ ὁ ἐπίσκοπος δὲ τῆς Βελᾶς κρατῶν τὴν Βοϊβίαν, ἣν ἐκ παραδόσεως τοῦ δεσπότου εἶχεν Ἰζαοῦ, καὶ αὐτὸς παρεῖδε, καὶ τὸν Σπάταν προσκυνεῖ, καὶ τὸ φρούριον παραδίδωσι. τότε ὁ Ἰζαοῦ ἐπισυνάξας τοὺς Ζαγορίτας μετὰ τοῦ λοιποῦ στρατοῦ κατὰ τοῦ Σπάτα ἐκβαίνει· καὶ αὐτὸν μὲν οὐκ ἀφῆκαν εἰς τὸν πόλεμον ἐξελθεῖν, ἐκεῖνοι δὲ ἐξελθόντες καὶ μικρὸν προπηδήσαντες εἰς φυγὴν ἐτράπησαν. τότε ὁ Σπάτας εἰς τὴν λίμνην κάτεργα ἐνέθηκε δύο, καὶ ὅτε ὁ δεσπότης ἐποίησεν ἕτερον, αὐτὸς τοῦτο ἀπέπνιξεν.

Ἐντεῦθεν καὶ ὁ Μελκούσης στέλλεται ὑπὸ τοῦ ἀμηρᾶ ἐκ τῆς Θεσσαλονίκης, καὶ ὁ Σπάτας ἀπέδραμεν. εἶτα ὁ δεσπότης μετὰ τοῦ Μελκούση καὶ τοῦ Καίσαρος, ὃς καὶ αὐτὸς ἦλθεν ἀπὸ τῆς Βλαχίας εἰς συμμαχίαν, ὑπάγει καὶ φθάνει τὸν ἀμηρᾶν· κἀκεῖσε διατρίψας χρόνον ἕνα καὶ μῆνας δύο ἔρχεται μετὰ τοῦ Βρανέζη εἰς τὸν Ἀχελῷον καὶ ἀπ' αὐτοῦ εἰς τὴν Ἄρταν, εἶτα εἰσέρχεται εἰς τὰ Ἰωάννινα, μηνὸς Δεκεμβρίου 14, ἰνδικτιῶνος 4, ἔτει 6899. ἐνταῦθα Ἰζαοῦ ὁ

Eodem anno ameras Amuratus et Lazarus interfecti sunt, mense Iunio. die autem 7 mensis Iulii Spatas avidus rursum aggressus est Ioanninam, et praeda facta castra posuit in conspectu urbis, et Malacasaei defecerunt, et Spatam regem salutarunt, segetes autem vastant, et vineta delent, et Beltzistam occupant. et episcopus Velae, qui Bobiam obtinebat, quam a domino Izao traditam habebat, et ipse defecit et Spatam regem agnoscit et castellum tradit. tum Izaus coactis Zagoritis cum reliquo exercitu contra Spatam proficiscitur; et ipsum in pugnam procedere non passi sunt, illi autem cum exissent paullum progressi in fugam sunt conversi. tum Spatas triremes duas in lacum demisit, et cum tyrannus unam faceret, ille hanc depressit.

Deinde etiam Melcuses ab amera e Thessalonice mittitur, et Spatas aufugit. tum tyrannus cum Melcuse et Caesare, qui et ipse e Valachia auxilio venerat, celeriter ad ameram se contulit, ibique annum unum et menses duo moratus cum Branese in Acheloum proficiscitur, indeque Artam, deinde Ioanninam ingreditur, mensis Decembris die 14, indictionis 4, anno 6899. hic igitur Izaus praeter alias, quae ei erant, virtutes, hac quoque re excelluit, quod archie-

δεσπότης μετὰ πάντων ὧν εἶχε καλῶν καὶ τοῦτο ἐπλούτει, ὅτι τὸν ἀρχιερέα πλέον πάντων ἠγάπα καὶ ἐφίλει, καὶ ἡδέως αὐτοῦ ἤκουε, καὶ εἰς τὴν βουλὴν αὐτὸν προσεκαλεῖτο· τοὺς δὲ ἑτέρους ἄρχοντας τῆς βουλῆς αὐτοῦ ἐξελέξατο ἄνδρας συνετοὺς καὶ τῶν εὖ γεγονότων. καὶ οὕτω μετὰ σταθερᾶς γαλήνης διῆγον τὰ Ἰωάννινα ἐπὶ χρόνους τέσσαρας.

Ἐν ἔτει δὲ 6903, ἰνδικτιῶνος 3, Δεκεμβρίου 28, ἀπὸ δὲ Χριστοῦ 1395, ἡ ἀγαθὴ κυρία ἡ μακαρία καὶ εὐσεβεστάτη βασίλισσα Ἀγγελικὴ Δούκαινα ἡ Παλαιολογίνα τὴν τῶν οὐρανῶν βασιλείαν τῆς ἐπιγείου ἀντήλλαξε, καὶ ἐν μετανοίᾳ καὶ ἐξομολογήσει καὶ θερμοῖς δακρύοις ἐν εἰρήνῃ ἀνεπαύσατο. ἡ μέντοι πόλις τῶν Ἰωαννίνων ὡς ἐπὶ κοινῇ τρέχουσα συμφορᾷ, οὐκ εἶχε πράως τῆς φυσικῆς κυρίας αὐτῶν τὴν στέρησιν ἐνεγκεῖν, ἀλλ' ἀθυμίᾳ συνείχετο καὶ θρήνοις πολλοῖς καὶ γοεροῖς ἐκόπτετο καὶ ὠδύρετο, καὶ συναποθέσθαι πάντες τὰς ἑαυτῶν ψυχὰς τῇ ἀγαθῇ κυρίᾳ προῄρηντο. τίς ἂν δυνηθείη εἰπεῖν τοὺς κρότους τῆς πόλεως τοὺς τότε, τοὺς ὕμνους, τὰς λαμπάδας, τὰς ψαλμῳδίας, τὰς πρὸς ἀλλήλους συμπλοκὰς καὶ θρήνους, παμπληθεὶ κοπτομένων, κλαιόντων ἀρχόντων καὶ ἀρχομένων, πρεσβυτέρων καὶ νέων, πλουσίων καὶ πενήτων, νηπίων καὶ γερόντων. θάψαντες οὖν αὐτὴν ἐντίμως, καὶ παννυχῶς πολλὰ δάκρυα καταχέαντες, μόλις ποτὲ πείθονται τοῦ τάφου ἀποστῆναι.

piscopum magis quam omnes diligebat et amabat, et libenter eum audiebat, et ad consilium suum advocabat, ceteros autem principes consilii sui elegit viros prudentes et ex nobilium generibus. atque hoc quidem modo in firma tranquillitate Ioannina per annos quatuor manebat.

Anno 6903, indictionis 3, die 28 mensis Decembris, p. Chr. n. 1395, domina bona, regina beata et piissima, Angelica imperatrix Palaeologa terreno regno regnum coeleste mutavit, et cum poenitentia et confessione sacra et lacrimis calidis in pace mortua est. urbs vero Ioannina ut in communi malo trepidans, verae dominae suae iacturam quiete ferre non poterat, sed animi deiectione tenebatur, et querelis multis et miseris affligebatur et lamentabatur, et amittere omnes animas suas cum domina bona volebant. quis plangores narrare possit, qui tum fiebant in urbe, carmina lugubria, faces, psalmodias, lamentationes inter se coniunctas incolarum, qui una sese plangebant, cum flerent principes et subiecti, seniores et iuniores, divites et pauperes, infantes et senes; cum igitur eam digne sepelivissent, et per totam noctem lacrimas multas effudissent, vix tandem iis persuadetur, ut a tumulo abscederent.

Πολλὰ δὲ θρηνήσας καὶ πενθήσας ὁ ταύτης σύνευνος Ἰζαοῦ, καὶ ἐκτελέσας τὰς πενθίμους ἡμέρας ἀξίως, μετὰ χρόνου ἑνὸς παραδρομὴν ἠναγκάζετο παρὰ τῶν ἀρχόντων αὐτοῦ καὶ τοῦ ἀρχιερέως εἰς τὰ πρὸς σύστασιν καὶ εἰρήνην τοῦ τόπου, καὶ μνηστεύεται τὴν θυγατέρα τοῦ Σπάτα Εἰρήνην καλουμένην· γυνὴ δ' ἦν ἀνδρεία, φρονήματι καὶ κάλλει εὐπρεπὴς καὶ ἀρετῇ περιβεβλημένη. τοῦ γάμου δὲ ἐκτελεσθέντος, μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνος 4, ἔτους 6904, ἀπὸ δὲ Χριστοῦ 1396, μετ' ὀλίγας ἡμέρας κατέβη ὁ Βρανέζης καὶ ὁ Ἰαξῆς κατὰ τοῦ Γιόνη, κἀκεῖθεν διελθόντας ἐδέξατο τούτους ὁ Σπάτας ἐν τῇ τοποθεσίᾳ τοῦ Δρίσκου· καὶ πόλεμον συγκρούσαντο, καὶ σφάξαντες οἱ Χριστιανοὶ τοὺς Ἰσμαηλίτας κατεδίωξαν ὀπίσω αὐτοὺς ἕως τῆς Φανερωμένης. οἱ δὲ Ἀλβανῖται ἐξέδωκαν ἑαυτοὺς εἰς κοῦρσον καὶ κέρδη. φεύγοντες δὲ ὁ Βρανέζης καὶ ὁ Ἰαξῆς μετ' ὀλίγων, οἱ καὶ πλείους τῶν τριακοσίων, ὅτε ἤγγισαν τὰς Πάκτωρας, στραφέντες οἱ Ἀγαρηνοὶ ἐδίωξαν τοὺς Χριστιανούς, καὶ ἔσφαξαν οὐκ ὀλίγους, αὐτοὶ δὲ διεσώθησαν.

Ἔτους δὲ 6907, ἰνδικτιῶνος 7, μηνὸς Ἀπριλλίου 5, ἀπὸ δὲ Χριστοῦ 1399, κατὰ τὸ ἀντίπασχα, ἐκστρατεύει κατὰ τοῦ Γιόνη τοῦ Ζενεβίση ὁ Ἰζαοῦ μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ. ἐπισυνάξας οὖν τὰ στρατεύματα, τούς τε Μαλακασαίους καὶ Μαζαρακαίους, ἔτι δὲ καὶ τοὺς τοῦ Παπίγκου καὶ τῶν

Post multum luctum et moerorem eius uxor Izaus iuste peractis diebus lugubribus post annum unum a principibus suis et archiepiscopo monitus est, ut tranquillitatem et pacem imperii curaret, et Irenen Spatae filiam in matrimonium ducit; mulier erat strenua, mente et pulchritudine decora, et virtute praedita. nuptiis celebratis, mense Ianuario, indictionis 4, anno 6904, p. Chr n 1396, paucis diebus post Branezes et Iaxes contra Gionem profecti sunt, ibique praetereuntes excepit hos Spatas in regione Drisci, manusque conseruerunt, et Christiani Ismaelitis multis interfectis illos persecuti sunt usque ad Phaneromenam. Albanitae autem praedae et lucro se dederunt, Barnezes et Iaxes cum paucis, qui tamen trecenti et amplius erant numero, postquam in fuga ad Pactoras accesserunt, Agareni reversi Christianos persecuti sunt, et interfecerunt non paucos, ipsi autem salvi discesserunt.

Anno autem 6907, indictionis 7, die 5 mensis Aprilis, p. Chr. n 1399, circa tempus paschale, Izaus cum toto suo exercitu contra Gionen Zenebisem proficiscitur. cum igitur copias coegisset, Malacasaeos et Mazaracaeos, et incolas Papingi et Zagorii et Drynopolis

Ζαγορίων, ἀλλὰ δὴ καὶ τῆς Δρυϊνουπόλεως μετὰ τοῦ Ἀργυροκάστρου καὶ τῶν μεγάλων Ζαγορίων, κατῆλθε μέχρι τοῦ Μεσοποτάμου. κἀκεῖθεν δὲ θέλων διελθεῖν πρὸς τὰ μέρη τῆς Δίβρης, ἐπέπεσεν ἐπ' αὐτοὺς γνόφος καὶ θύελλα, καὶ ὁ Γιόνης ἀκολουθῶν αὐτοὺς κατὰ κράτος νικᾷ, καὶ εἰς χεῖρας αὐτοῦ ὁ δεσπότης ἐξέδοτο, ἡμέρᾳ 4, Ἀπριλλίου 9, καὶ εἰς δεσμὰ καὶ στρεβλώσεις μετὰ τῶν ἀρχόντων αὐτοῦ ἀποκλείεται. ἔχων οὖν ὁ δεσπότης γνησίους συγγενεῖς ἀπὸ τῶν ἐντίμων ἀρχόντων τῆς περιδόξου μεγαλοπόλεως Φλωρεντίας, ἀνέδραμον οὗτοι εἰς τὴν ἑταιρείαν τῆς Βενετίας, καὶ ἐρωτήσαντες περὶ τοῦ δεσπότου ἀπῆλθον πρὸς τὸν βάϊλον τῆς νήσου τῶν Κορυφῶν, καὶ ἐξέβαλον αὐτὸν εἰς δέκα χιλιάδας φλωρίων ἀπὸ τοῦ Ἀργυροκάστρου. περάσας τοίνυν εἰς τοὺς Κορυφούς, καὶ διαμείνας ἡμέρας τινάς, ἀπέπλευσεν εἰς τὴν ἁγίαν Μαύραν· κἀκεῖθεν διαβάντα εἰς τὰ μέρη Γροβαλαίας ἐδέξαντο αὐτὸν ἀσπασίως ὁ πενθερὸς αὐτοῦ μετὰ τοῦ Σγούρου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ εἰσῆλθεν ἐντὸς τῆς πόλεως Ἄρτης· εἶτα πρὸς τὴν πόλιν τῶν Ἰωαννίνων παραπέμπεται. ἐνταῦθα εἰσῆλθεν Ἰουλίου 17.

Ἔτει δὲ 6908, ἰνδικτιῶνος 8, ἀπὸ δὲ Χριστοῦ 1400, Ἀπριλλίου 28, ἡμέρᾳ 4, ὁ δεσπότης ἀπῆλθεν ἐκεῖθεν πρὸς τὰ μέλλοντα δικαιωτήρια, καὶ παραντίκα ὁ ἀδελφὸς αὐτοῦ Σγοῦρος τὴν Ἄρταν παραλαμβάνει. μετ' ὀλίγας δὲ ἡμέρας

et Argyrocastri et magni Zagorii profectus est usque ad Mesopotamum. unde cum ad regionem Dibrae transire vellet, iis accidit nebula et ventus et Giones eos secutus funditus vincit, atque eius manibus dominus traditus est, die 4, mensis Aprilis die 9, et in vincula et cruciatus cum principibus suis datur. cum igitur dominus cognatos insignes ex nobilibus principibus urbis clarissimae Florentiae haberet, hi ad amicos Venetiae confugerunt, et cum sententiam de domino rogassent, ad legatum insulae Corcyrae abierunt et pro decem milibus aureorum ex Argyrocastro eum liberarunt. transgressus igitur in Corcyram et moratus dies nonnullos sanctam Mauram navigio petivit, unde transgressum in regionem Grobalaeas laeti eum acceperunt socer eius et Sgurus frater, et intravit Artam urbem, deinde urbem Ioanninam profectus est, et illuc die 17 mensis Iulii advenit.

Anno 6908, indictionis 8, p. Chr. n. 1400, die 28 mensis Aprilis, die quarto, tyrannus ex hac terra ad iudicium futurum secessit, statimque Sgurus frater eius Artam recepit. paucis diebus post contra eum Boncoes Serbalbanitobulgarovalachus proficiscitur, et Sgurum expellit, incolas autem ex nobilibus dolose et callide omnes accusa-

ἐπιπηδᾷ κατ' αὐτοῦ *Βογκόης* ὁ *Σερβαλβανιτοβουλγαρόβλαχος*, καὶ τὸν *Σγοῦρον* ἐκπέμπει, τοὺς δὲ τοπικοὺς τῶν ἐντίμων ὑπούλως καὶ δολερῶς πάντας ἐφθόριζε, καὶ αὐτοὺς ἀποκλείσας εἰς ἀφανισμὸν καὶ φθοράς, οἴμοι, τὰ ἑαυτῶν κτήματα ἐποίησεν, ἕως οὗ καὶ εἰς ἐξορίαν αὐτοὺς ἐξέπεμψεν. ὢ πῶς ἀδακρυτὶ τὴν τούτων ἐπενέγκω γνώμην καὶ στέρησιν; *Ἀκαρνανία* κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, διότι οὐκ εἰσί. δάκρυσι δὲ ταῦτα γέγραφα, οὐ μέλανι· τοῦτο γὰρ πέφυκεν ἀγάπης πληρεστάτης, τὸ χαίρειν μετὰ χαιρόντων καὶ συμπενθεῖν μετὰ πενθούντων. ἀλλὰ προσκυνῶ, *Χριστέ*, τὰς κρίσεις σου, αὐτὰς δὲ οὐκ ἐξετάζω· ὅτι σοὶ δόξα πρέπει, μονογενὲς υἱὲ θεοῦ τοῦ προανάρχου, σὺν τῷ σῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.

[Ἴξευρε, ὦ ἀναγνῶστα, ὅτι *Ἀιδονάτον* ἡ *Παραμυθία* ὀνομάζεται.]

[Ἔτει 6910, ἰνδικτιῶνος 1, μηνὶ Ἰανουαρίῳ, ἀπὸ δὲ *Χριστοῦ* 1402, τὴν ἡμέραν τῶν ἁγίων *Θεοφανείων*, ἐξερχομένων τῶν *Χριστιανῶν* τὸ πρωὶ μετὰ λιτανείας, καὶ τελεσάντων τὸν ἁγιασμὸν κατὰ τὸ συνηθὲς εἰς τοῦ *Λιβαδιώτη*, εἶτα εἰσερχομένων ἐντὸς τῆς πόλεως, ἐξαίφνης ἐχάλασε τὸ μετάρσιον τὸ ἔμπροσθεν τοῦ γουλᾶ, ἐπὶ τοῦ ὁποίου ἦσαν πολλαὶ ἀρχόντισσαι, καὶ ἔπεσεν ἡ αὐθεντοποῦλα κυρία *Μανδελίνα*, μετ' αὐτῆς καὶ ἡ *Καυσοκαβάδαινα*, καὶ τῷ θανάτῳ παρεδό-

bat, eorumque in vincula datorum bona heu! delevit et vastavit, donec in exilium quoque eos misit. heu! quomodo sine lacrimis horum iudicium et iacturam proferre possum? Acarnania liberos suos lugebat, neque locum dedit consolationi, cum iam non essent. lacrimis haec scripsi, neque vero atramento. hoc enim est proprium amoris maximi, laetari cum laetis, et dolere cum dolentibus. sed voluntatem tuam, Christe, veneror, in quam non inquiram, cum tibi gloria adsit, unice fili dei ex aeternitate dominantis, et patri tuo et perssancto et bono et vitam creanti tuo spiritui, nunc et semper et in infinita saecula saeculorum. amen!

[Animadvertas, lector, Aidonatum vocari Paramythiam.

Anno 6910, indictionis 1, mense Ianuario, p. Chr. n. 1402, die sancti festi Theophaniorum, cum Christiani mane cum precibus exissent, et more consueto cultum divinum exercuissent in Libadiota, et deinde urbem intrarent, subito, quod est ante turrim, suggestum concidit, in quo erant multae imperatrices, et decidit regina nobilis Mandelina, cumque ea etiam Causocabadaena, et morti occubuerunt, et

θησαν, καὶ ἑτέρα γυνή, ἥτις ἐσώθη· αἱ ὁποῖαι ἔβλεπον ἐνάντια τὸν ἁγιασμόν. ἐκρεμάσθη δὲ καὶ τὸ παιδίον τοῦ Ζιρίδου ἕως μισὴν ὥραν· κρεμαμενον δὲ βλέποντες αὐτὸ ὁ λαός, ἔκραζον μετὰ φόβου καὶ τρόμου πολλοῦ τὸ κύριε ἐλέησον, ἕως οὗ ἐσώθη.]

alia mulier, quae tamen servata est, quae quidem cultum divinum coram videbant: pendebat etiam filia Ziridi usque ad meridiem, quam cum pendentem videret populus, multo cum metu et terrore exclamavit: domine, miserare nos (kyrie eleeson), donec servata est.]

III.

Σύνοψις ἱστορίας τῶν Ὀθομανῶν βασιλέων, ἀπὸ τῆς ἀρχῆς αὐτῶν ἕως τῆς βασιλείας τοῦ Μουράτ, ἐν ᾗ καὶ ἡ τῶν Ἰωαννίνων παράδοσις, καὶ ἑτέρων ἱστοριῶν.

Ἐδῶ γράφομεν ὅτι ἀπὸ τὰ 1299 ἔτη τῆς τοῦ Χριστοῦ ἐνανθρωπήσεως ἄρχισε τὸ ὄνομα τῶν Ὀθομανῶν ἀπὸ τὸν ἀρχηγὸν αὐτῶν Ὀθμάν. οὗτος ἔγινε πρῶτος αὐθέντης τῶν Τούρκων καθολικός, καὶ ἀπ' αὐτοῦ ἄρχισεν ἡ ἡγεμονία αὐτῶν, ἥτις διαρκεῖ ἕως τὴν σήμερον, ἀκολουθοῦσα κατὰ διαδοχὴν εἰς τὴν γενεὰν τοῦ Ὀθμάν· οὔτε εὑρέθη ποτὲ ἄλλη γενεὰ νὰ γένῃ ἐναντία ταύτης. ὁ Ὀθμὰν ἦτον φρόνιμος καὶ μεγαλόψυχος καὶ εὐτυχὴς πολλά· ἐσύστησε στρατεύματα ἀνδρεῖα, καὶ ἐπῆρε πολλὰ καὶ δυνατὰ κάστρα τῶν Ῥωμαίων, μάλιστα πρὸς τὴν μαύρην θάλασσαν. ἐβασίλευσε δὲ χρόνους 28, καὶ ἀπέθανεν εἰς τὰ 1327 ἀπὸ Χριστοῦ γεννήσεως.

III.

Adumbratio historiae regum Othomanum, inde ab origine imperii usque ad regnum Muratis, cuius tempore etiam Ioanninae deditio facta est, aliarumque historiarum.

Hic narramus, inde ab anno 1299 p. Chr. n. dominari coepisse nomen Othomanum ab Othmane eorum duce appellatorum. hic enim primus fuit imperator Turcarum generalis, et inde ab eo dominatio eorum incipit, quae adhuc suppetit, tradita successione in Othmanis genere, neque inventum est unquam aliud genus, quod contra illud sese extulerit. Othman erat sapiens et magnanimus et perquam felix, exercitus fortes constituit, et multa et firma castella Graecorum sustulit, maxime in regione maris nigri. regnavit autem annos 28, et circa annum 1327 p. Chr. n. mortuus est.

Μετὰ τοῦτον ἔλαβε τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Ὀρχὰν εἰς τὰ 1327. οὗτος ἐπολέμησε μὲ τὸν Μιχαὴλ τὸν Παλαιολόγον, καὶ ἐπῆρε τὴν Προῦσαν. ἐβασίλευσε δὲ καὶ αὐτὸς χρόνους 33, καὶ ἀπέθανε.

Μετὰ δὲ τὸν Ὀρχὰν ἔγινεν ἀρχηγὸς ὁ υἱὸς αὐτοῦ Μουρὰτ εἰς τὰ 1360. οὗτος ἦν φίλος τοῦ βασιλέως τῆς Κωνσταντινουπόλεως· ἀλλ' ὕστερον ἐχθρευθεὶς ἐκινήθη κατ' αὐτοῦ εἰς τὰ 1366, καὶ κροτήσας πολέμους φρικτοὺς ἐπῆρε τὴν Καλλίπολιν, τὴν Φιλιππόπολιν, τὴν περίφημον Ἀδριανούπολιν καὶ ἄλλους τόπους. βασιλεύσας δὲ χρόνους 29 ἀπέθανε.

Μετὰ τοῦτον λαμβάνει τὴν βασιλείαν Βαϊαζὶτ τοῦ Μουρὰτ ὁ υἱὸς εἰς τὰ 1389. οὗτος ἐστάθη ἀνδρικώτατος, καὶ ἐπωνομάζετο Ἰλδιρίμ, ὅτι ἦτον ὡς ἀστραπὴ ὀγλίγωρος. ὑπέταξε δὲ ὅλους σχεδὸν τοὺς τόπους τῆς δύσεως, τὴν Βουλγαρίαν Σερβίαν Ἀλβανίαν Βλαχίαν καὶ τὴν Θεσσαλονίκην. ἀλλ' ἐπιστρέψας εἰς τὴν ἀνατολὴν νὰ πολεμήσῃ τὸν Τιμουρχάν, βασιλέα τῆς Περσίας ἐρχόμενον κατ' αὐτοῦ ἔπεσεν αἰχμάλωτος καὶ ἀπέθανε βασιλεύσας χρόνους 15.

Μετὰ τοῦτον δὲ ἀρχηγὸς ἀνεφάνη Μωάμεθ ὁ υἱὸς αὐτοῦ εἰς τὰ 1410. οὗτος ἀφήσας τὴν Προῦσαν διέβη κατὰ παραχώρησιν θείαν, καὶ ἔστησε τὸν θρόνον τοῦ εἰς τὴν Ἀδριανούπολιν. πολεμήσας δὲ τὰ πέριξ κάστρα ἄλλα μὲν ἐπῆρε

